## 19. THE TEMPTATION (Mk-Lk Identical)

| Mark 1:12-13 | Luke 4:1-13 |
|---|---|
| ·12 Καὶ εὐθὺς | ·1 Ἰησοῦς δὲ |
| τὸ πνεῦμα | πλήρης πνεύματος ἁγίου |
| | ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, |
| αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον. | καὶ ἤγετο |
| | ἐν τῷ πνεύματι |
| 13 καὶ ἦν ἐν τῇ ἐρήμῳ | ἐν τῇ ἐρήμῳ |
| τεσσεράκοντα ἡμέρας | 2 ἡμέρας τεσσεράκοντα |
| πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, | πειραζόμενος ὑπὸ τοῦ διαβόλου. |
| | καὶ οὐκ ἔφαγεν οὐδὲν |
| | ἐν ταῖς ἡμέραις ἐκείναις, |
| | |
| | καὶ συντελεσθεισῶν αὐτῶν |
| | ἐπείνασεν. |
| καὶ ἦν μετὰ τῶν θηρίων, | |
| | |
| | ·3 Εἶπεν δὲ αὐτῷ ὁ διάβολος, |
| | Εἰ υἱὸς εἶ τοῦ θεοῦ, |
| | εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα |
| | γένηται ἄρτος. |
| | 4 καὶ ἀπεκρίθη πρὸς αὐτὸν |
| | ὁ Ἰησοῦς, |
| | Γέγραπται ὅτι |
| | Οὐκ ἐπ ἄρτῳ μόνῳ |
| | ζήσεται ὁ ἄνθρωπος. |
| | |
| | ·5 Καὶ ἀναγαγὼν αὐτὸν |
| | ἔδειξεν αὐτῷ |
| | πάσας τὰς βασιλείας |
| | τῆς οἰκουμένης |
| | ἐν στιγμῇ χρόνου· |
| | 6 καὶ εἶπεν αὐτῷ |
| | ὁ διάβολος, |
| | Σοὶ δώσω |
| | τὴν ἐξουσίαν ταύτην ἅπασαν |
| | καὶ τὴν δόξαν αὐτῶν, |
| | ὅτι ἐμοὶ παραδέδοται καὶ ᾧ |
| | ἐὰν θέλω δίδωμι αὐτήν· |
| | 7 σὺ οὖν ἐὰν προσκυνήσῃς |

*ἐνώπιον ἐμοῦ,*

*ἔσται σοῦ πᾶσα.*

*8 καὶ ἀποκριθεὶς*

*ὁ Ἰησοῦς εἶπεν αὐτῷ,*

*Γέγραπται,*

*Κύριον τὸν θεόν σου προσκυνήσεις*

*καὶ αὐτῷ μόνῳ λατρεύσεις.*

*9 Ἤγαγεν δὲ αὐτὸν*

*εἰς Ἰερουσαλὴμ*

*καὶ ἔστησεν*

*ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ,*

*καὶ εἶπεν αὐτῷ,*

*Εἰ υἱὸς εἶ τοῦ θεοῦ,*

*βάλε σεαυτὸν ἐντεῦθεν κάτω·*

*10 γέγραπται γὰρ ὅτι*

*Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται*
*περὶ σοῦ*

*τοῦ διαφυλάξαι σε,*

*·11 καὶ ὅτι*

*Ἐπὶ χειρῶν ἀροῦσίν σε*

*μήποτε προσκόψῃς*

*πρὸς λίθον τὸν πόδα σου.*

*12 καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ*

*ὁ Ἰησοῦς ὅτι*

*Εἴρηται,*

*Οὐκ ἐκπειράσεις κύριον*

*τὸν θεόν σου.*

| Mark 1:12-13 | Luke 4:1-13 |
|---|---|
| | *13 Καὶ συντελέσας πάντα* <br> *πειρασμὸν* <br> *ὁ διάβολος ἀπέστη ἀπ  αὐτοῦ* <br> *ἄχρι καιροῦ.* |
| *καὶ οἱ ἄγγελοι* <br> *διηκόνουν αὐτῷ.* | |

16 words out of 233 words = 7% agreement